# ἈΠΟΛΛΩΝΙΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

α. Ὅτι ὃν τρόπον τὰ στοιχεῖα καὶ αἱ συλλαβαὶ κατὰ τὸ δέον ἐπιπλεκόμεναι τὰς λέξεις ἀποτελοῦσιν, οὕτω καὶ αἱ λέξεις τὸν λόγον.

ΕΝ ΤΑΙΣ προεκδοθείσαις ἡμῖν σχολαῖς, ἡ περὶ τὰς φωνὰς παράδοσις καθὼς ἀπῄτει ὁ περὶ αὐτῶν λόγος, κατείλεκται. ἡ δὲ νῦν ἐκδοθησομένη ἔκδοσις, περιέξει τὴν ἐκ τούτων γινομένην σύνταξιν, εἰς καταλληλότητα τοῦ αὐτοτελοῦς λόγου. ἣν πάνυ προῄρημαι ἀναγκαιοτάτην οὖσαν πρὸς ἐξήγησιν τῶν ποιημάτων μετὰ πάσης ἀκριβείας ἐκθέσθαι. ἤδη γε μὴν ἡ πρώτη ἐκδοθεῖσα ἀμερὴς ὕλη τῶν στοιχείων, τοῦτο πάλιν πρότερον κατεπηγγείλατο. οὐχ ὡς ἔτυχεν ἐπιπλοκὰς ποιησαμένη τῶν στοιχείων, ἀλλ᾽ ἐν τῇ κατὰ τὸ δέον συντάξει. ὅθεν σχεδὸν καὶ τῆς ὀνομασίας ἔλαχεν. ἥ τε ἐπαναβεβηκυῖα συλλαβή, ταὐτὸ ἀπεδέξατο. εἴγε αἱ ἐκ τούτων συντάξεις ἀναπληρούμεναι, κατὰ τὸ δέον ἀποτελοῦσι τὴν λέξιν. καὶ σαφὲς ὅτι ἀκόλουθόν ἐστι τό, καὶ τὰς λέξεις μέρος οὔσας τοῦ κατὰ σύνταξιν αὐτοτελοῦς λόγου, τὸ κατάλληλον τῆς συντάξεως ἀναδέξασθαι. τὸ γὰρ ἐξ ἑκάστης λέξεως παρυφιστάμενον νοητόν, τρόπον τινὰ στοιχεῖόν ἐστι τοῦ λόγου. καὶ ὡς τὰ στοιχεῖα συλλαβὰς ἀποτελεῖ κατὰ τὰς ἐπιπλοκάς, οὕτω καὶ ἡ σύνταξις τῶν νοητῶν, τρόπον τινὰ συλλαβὰς ἀποτελέσει, διὰ τὰς ἐπιπλοκὰς τῆς λέξεως.